※ Κανὼν εἰς τὸν ἅγιον Ἰωάννην τὸν πρόδρομον· ※
ποίημα Ἰωάννου μοναχοῦ. οὗ τὸ ὄνομα ἐν
τέτακται ἐν καὶ τῇ ἐνάτῃ ᾠδῇ: κανὼν
πρῶτος· οὗ ἡ ἀκροστιχὶς αὕτη:–
Πρῶτον φέρω μέλισμα σοὶ τῷ προδρόμῳ· ἐπ
Ἰω: ἦχος α΄. ᾠδὴ α΄: σοῦ ἡ τροπαιοῦχος:–

Πηλίνην μου γλῶσσαν ῥυπαράν· καὶ μολυνθεῖσιν ὄντα
δεσὶ χείλεσι· πρόδρομε περαίροντα· μὴ με βδελύξῃ
μᾶλλον δὲ ἀσπάσον· διὰ τῶν σῶν ὕμνων· τὸ στόμα
καὶ τὴν καρδίαν μου:–

Ῥείθροις Ἰορδάνου ποταμοῦ· ὁ καταδύσας ἐλέγχων
τὴν ἄβυσσον· ῥείθροις κατανύξεως· τὰς ἁμαρ
τίας μου σοφὲ καταύγασον· καὶ δακρύων ὄμβροις·
τὸν λογισμόν μου καταρδεύσον:–

Ὥσπερ ἑωσφόρος πρωϊνός· στειρωτικῶν ἐκ λαγόνων
ἀνέτειλας· καὶ κήρυξ τὸν ἀνίσχοντα· παρθενικῆς
ἀπὸ νεφέλης ἥλιον· τῆς δικαιοσύνης· τρανῶς
ἀστραπιζόμενος:·

Τὴν ἀμαυρωθεῖσαν μου ψυχὴν· ἁμαρτιῶν ζοφεροῖς
ἐπιχύσεσι· λύχνος ὢν φανότατος· τοῦ ἐκ γαστρὸς
προεωσφόρου λάμψαντος· ἡλίου τῆς δόξης· κα
ταύγασον μετανοίας φωτί:·

Ὄρος τὸ κατάσκιον θεοῦ· τὸ ὑψηλὸν ὄντως καὶ ἀδρύ
χωρον· θάλαμον τὸν ἔμψυχον· τὸν ἀθαλῆ καὶ
λαμπρὸν παράδεισον· τὴν παρθένον κόρην· ὡς
θεοτόκον ὑμνήσωμεν:–



UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_138/0289